† Τολμῶντες οἱ ἀνά(ξιοι) κ[αὶ π]ανευτελ(εῖς) δοῦλ(οι) τ(ῆς) κρατ(αιᾶς) καὶ ἁ(γίας) βα(σιλείας) σου, δεόμεθ(α), δέσποτ(α) ἡμ(ῶν) ἅγιε· ὁ ἐν βασιλεῦσ(ιν) ἀείμνηστο(ς) βα(σιλεὺς) καὶ πάππο(ς) |[2] τῆς θεοστεφοῦς καὶ ἁγ(ίας) βασιλεί(ας) σου κῦρ Ἀλέξιο(ς) ὁ Κομνηνό(ς), ἀναμαθ(ὼν) τ(ὴν) προσοῦσ(αν) ἡμ(ῖν) ἔνδει(αν) καὶ ἀπορί(αν) καὶ αὐτ(ῶν) τῶν ἀναγκαί(ων) |[3] ὑστέρησ(ιν), παντοί(ως) ἐχειραγώγ[ει] ἡμ(ᾶς) καὶ μετὰ τ(ῶν) ἄλλ(ων) δὲ πασ(ῶν) ἐλεημοσυν(ῶν), ὧν πρὸ(ς) ἡμ(ᾶς) ἐνεδείξατο, καὶ ἐξκουσσεί(αν) παροίκ(ων) δεκαδύο, ἐλευθέρ(ων) |[4] τὲ καὶ ἀτελῶν καὶ μήτε γῆν ἰδίαν ἐχόντ(ων), μήτε τοῦ δημοσίου, ἐδωρήσατο ἡμ(ῖν), (ὥσ)τε ἐνοικίσαι αὐτ(οὺς) ἐν τοῖς προσοῦσ(ιν) ἡμῖν ἀκινήτοις ἐν τῇ νήσω |[5] Λέρνω· οὓς καὶ ἐνοικίσαντ(ες) καὶ μέχρι τῆς δεῦρο κατέχοντ(ες), ὑπερευχόμεθ(α) μ(ὲν) καὶ τοῦ ἀειμνήστου κράτ(ους) ἐκείνου καὶ τ(ῆς) θεοστεφ(οῦς) βα(σιλείας) σου· |[6] οὐ μικρ(ῶς) δὲ καθ' ἕκαστ(ον) χρόν(ον) ὀχλούμενοί τε καὶ διασειόμενοι π(αρὰ) τ(ῶν) κατὰ καιρ(οὺς) πρακτόρ(ων) τῆς [νή]σου [Σ]άμου διὰ τὸ μὴ ῥητ(ῶς) ἐν τῶ γεγονότ(ι) |[7] ἡμ(ῖν) π(αρὰ) τ(οῦ) ἀειμνήστου πάππου τῆς βασιλ(είας) σου χρυσοβούλλω σιγιλλίω (ἐ)πὶ τῇ ἐξκουσσεία τῶν τοιούτ(ων) παροίκ(ων) ζευγαράτ(ους) αὐτ(οὺς) ὀνομάζεσθαι ἀλλ' ἁπλ(ῶς) παροί|[8]κους, τῶ κοινῶ λιμένι καὶ σ(ωτῆ)ρι πάντ(ων) τ(ῶν) χειμαζομέν(ων), τῶ θεοστεφεῖ κράτει τ(ῆς) βα(σιλείας) σου προστρέχομεν καὶ δεόμεθα γενέσθαι ἡμ(ῖν) τίμιον καὶ |[9] προσκυνητ(ὸν) αὐτῆς πρόσταγμα τοῦ μηκέτι ὄχλησ(ιν) τινὰ ὑφίστασθαι π(αρὰ) τ(ῶν) πρακτόρ(ων) τῆς Σάμ(ου) ἕνεκ(εν) τ(ῶν) προσόντ(ων) ἡμ(ῖν) δώδεκα παροίκ(ων) |[10] ζευγαράτ(ων)· πρὸ(ς) (ἐ)πὶ τούτ(οις) δεόμεθα καὶ εἰσέτι ὑφαπλωθῆναι ἡμ(ῖν) τὸν ἔλεον τῆς βα(σιλείας) σου καὶ βραβεῦσαι ἡμ(ῖν) καὶ ἑτέρ(ους) παροίκ(ους) ζευγαράτ(ους), |[11] ἀτελεῖς καὶ μήτε γῆν ἰδίαν ἐχόντ(ων), μήτε τῶ δημοσίω πάντ(ως) ἐπειγνωσμέν(ους), ὅσ(ους) ἐκ Θ(ε)οῦ ὁδηγηθ(ῇ), ὥστ' ἐνοικίσαι αὐτ(οὺς) ἐν τ(οῖς) |[12] οὖσ(ιν) ἡμῖν οὐδαμιν(οῖς) ἀκινήτ(οις) ἐν τῇ νήσω Λέρνω· καὶ οὐ παυσόμεθ(α) καὶ αὐτοὶ ποι(εῖν) καθ' ἑκάστ(ην) ἡμέρ(αν) τρισάγ(ιον) ὑπὲρ τῆς βα(σιλείας) σου καὶ θερ|[13]μότ(ε)ρ(ον) αὐτῆς ὑπερεύχεσθαι, ἧς ὡς δοῦλ(οι) ἀνά(ξιοι) τολμήσαντ(ες) ἐδεήθημεν· † δέησ(ις) Θεοκτίστου (μον)αχ(οῦ) εὐτ(ε)λ(οῦς) καὶ τ(ῶν) λοιπ(ῶν) (μοναχῶν), |[14] τῶν ἐν τῇ δουλικῇ σου μονῇ τῇ ἐν τῇ νήσω Πάτμω δούλ(ων) ἀναξ(ίων).

|[15] † Δωρεῖται ἡ βασιλεία μου τῇ καθ' ἡμ(ᾶς) σεβασμία μονῇ διὰ τοῦ παρόντο(ς) ταύτ(ης) προστάγματ(ος), σιγιλλ(ίου) τόπ(ον) ἐπέχ(ειν) ὀφείλοντ(ος), ἐπέκειν(α) |[16] τῆς τ(ῶν) προδωρηθ(έν)τ(ων) αὐτῇ, ὡς ὑπεμνήσ(α)τ(ε), δώδεκα παροίκ(ων) ἐξκουσσεί(ας) π(αρὰ) τ(οῦ) ἐν εὐσεβεῖ τῇ λήξει γενομένου βασιλ(έως) καὶ πάππ(ου) τῆς βα(σιλείας) μου, καὶ ἑτέρ(ων) |[17] ἓξ παροίκ(ων) ζευγαράτ(ων) ἐξκουσσεί(αν), ὀφειλόντ(ων) προσκαθῖσαι ἐπὶ τοῖς διαφέρουσι ταύτῃ κτήμασι, κ(α)τὰ τ(ὴν) νῆσ(ον) Λέρνο(ν), ἐλευθέρ(ων) |[18] μέντοι καὶ ἀδωρήτ(ων) καὶ μηδενὶ δημοσι(α)κῶ ὑποκειμέν(ων) λειτουργήμ(α)τ(ι), μήτ(ε) πρακτ(ικοῖς) τοῦ δημοσ(ίου) ἀναγεγραμμέν(ων), μήτε γὴν δημοσι(α)κ(ὴν) |[19] κ(α)τεχόντ(ων)· καὶ διορίζεται

ἐξκουσσεύεσθαι καὶ τ(οὺς) τοιούτ(ους) ἐξ παροίκ(ους) ζευγαράτ(ους) π(αρὰ) τ(ῆς) τοιαύτ(ης) μον(ῆς) ἀπὸ πάσ(ης) καὶ παντοί(ας) δημοσι(α)κ(ῆς) | 20 εἰσπράξε(ώς) τὲ καὶ ἀπαιτήσε(ως), αὐτοῦ τε τοῦ ζευγολογ(ίου) καὶ παντοί(ας) ἀγγαρεί(ας), νῦν τὲ οὔσ(ης) καὶ ἐς ὕστερ(ον) (ἐ)πινοηθησομ(έ)ν(ης) καὶ κατὰ τὸ καθόλ(ου) τ(ῆς) | 21 ἐξ-λείπει κείμενο εἰς τ(ὸν) αἰῶνα τ(ὸν) ἅπαντα, τῇ ἐμφανεία καὶ μόνη τῆς παρού(σης) λύσεως τῆς | 22 βασιλ(είας) μου, ἣ καὶ τ(οῖς) προσφόρ(οις) σεκ(ρέ)τ(οις) καταστρωθήσεται καὶ αὖθ(ις) ἀντιστραφήσεται τῷ μέρει τ(ῆς) μον(ῆς) εἰς ἀσφάλ(ειαν) ἀρκ(εῖν) ὀφείλουσα καὶ ἀντὶ χρυ| 23σοβούλλ(ου) γραφῆς· †τὸ μη(νὶ) Μαρτίω, (ἰνδικτιῶνος) η' δι' ἐρυθρ(ῶν) γραμμ(ά)τ(ων) τοῦ κραταιοῦ καὶ ἁγ(ίου) ἡμ(ῶν) βασιλ(έως) καὶ ἡ διὰ κηροῦ συνήθ(ης) | 24 σφραγίς· εἶχε δὲ καὶ τὸ διὰ τοῦ Πεπαγωμ(έ)ν(ου) Ἰω(άννου) καὶ τὸ κατεστρώθ(η) ἐν τῷ σεκ(ρέ)τ(ω) τοῦ μεγ(ά)λ(ου) λογαρι(α)στ(οῦ), κατὰ μῆ(να) Ἀπρίλλ(ιον), (ἰνδικτιῶνος) η', |25 διὰ Θεοδώρου τοῦ Σπονδ(ύ)λ(η)· καὶ τὸ κ(α)τεστρώθ(η) ἐν τῷ σεκ(ρέ)τ(ω) τοῦ (ἐ)πὶ τ(ῶν) οἰκει(α)κῶν, μη(νὶ) Ἀπριλλ(ίω), (ἰνδικτιῶνος) η', διὰ τ(οῦ) Ῥωμαν(ά)κη· | 26 καὶ τὸ κ(α)τεστρώθ(η) ἐν τ(ῷ) σεκ(ρέ)τ(ω) τοῦ μ(ε)γάλ(ου) λογαρι(α)στ(οῦ) τῶν εὐαγῶν σεκ(ρέ)τ(ων), μη(νὶ) Ἰουν(ίω), (ἰνδικτιῶνος) η'· καὶ τὸ κ(α)τεστρώθ(η) ἐν τῷ σεκ(ρέ)τ(ω) τ(ῆς) βασι(λι)κῆς σακέλλ(ης), |27 μη(νὶ) Ἰουν(ίω), (ἰνδικτιῶνος) η' · καὶ τὸ κ(α)τεστρώθ(η) ἐν τ(ῷ) σεκ(ρέ)τ(ω) τοῦ (ἐ)πὶ τῶν βεστιαρί(ων), κ(α)τὰ μῆ(να) Ἰούν(ιον), (ἰνδικτιῶνος) η', διὰ τοῦ Κοστομ(ύρη;)†

|28 †ὁ κριτ(ὴς) τοῦ βήλ(ου) καὶ κοιαίστ(ω)ρ Βασίλ(ειος) ὁ Πεκούλ(ης) τὸ παρὸν ἶσ(ον) |29 τῷ ἐμφανισθέντ(ι) μοι (πρωτο)τύπ(ω) ἰσάζον εὑρ(ὼν) ὑπ(έγραψα)†

|30 †ὁ κριτ(ὴς) τοῦ βήλ(ου) καὶ ἐπὶ τ(οῦ) ἱπποδρόμ(ου) Ἰω(άννης) ὁ Ἀλωπ(ὸς) [;] [τὸ] παρὸν ἶσον | 31 τῷ ἐμφανισθέντ(ι) μοι (πρωτο)τύπ(ω) ἰσάζον εὑρ(ὼν) ὑπέγρα(ψα)†